Ακαδημία Αθηνών / Academy of Athens

**νόσος.** Νόσος/ἀρρώστεια, disease/sickness, Ἡράκλειτος 111 *ν ο ῦ σ ο ς ὑγιείην ἐποίησεν ἡδὺ καὶ ἀγαθόν, λιμὸς κόρον, κάματος ἀνάπαυσιν* Ἐμπεδοκλῆς 112.10 *οἱ μὲν μαντοσυνέων κεχρημένοι, οἱ δ' ἐπὶ ν ο ύ σ ω ν παντοίων ἐπύθοντο κλυεῖν εὐηκέα βάξιν* Δημόκριτος 31 *ἰατρικὴ μὲν ... σώματος ν ό σ ο υ ς ἀκέεται, σοφίη δὲ ψυχὴν παθῶν ἀφαιρεῖται* 288 *ν ό σ ο ς οἴκου καὶ βίου γίνεται ὅκωσπερ καὶ σκήνεος.* || **Νόσος.** Ἡ Ἀρρώστεια (προσωποπ.), Disease (personif.), Ἐμπεδοκλῆς 121.3 *ἀτερπέα χῶρον, ἔνθα ... αὐχμηραί τε Ν ό σ ο ι καὶ Σήψιες ἔργα τε ῥευστὰ Ἄτης ἀν λειμῶνα κατὰ σκότος ἠλάσκουσιν.* Πρβλ. *νόσημα, ὑγίεια.*

**νοτίζεσθαι** (ἀντίθ. *αὐαίνεσθαι*). Ὑγραίνομαι, be moistened, Ἡράκλειτος 126 *τὰ ψυχρὰ θέρεται, θερμὸν ψύχεται, ὑγρὸν αὐαίνεται, καρφαλέον ν ο τ ί ζ ε τ α ι.* Πρβλ. *νότος, αὖος.*

**νότος.** Νότιος ἄνεμος, south wind, Δημόκριτος 14 (DK II 143,14) *ν ό τ ο ς πνεῖ* 14 (DK II 144,22) *ν ό τ ο ς ὡς τὰ πολλά.*

**νουθετεῖν.** Νουθετῶ/συμβουλεύω, admonish/advise, Δημόκριτος 52 *τὸν οἰόμενον νοῦν ἔχειν ὁ ν ο υ θ ε τ έ ω ν ματαιοπονεῖ.*

**νοῦς** (τύπ. *νόος*) **1.** Νοῦς/πνεῦμα, mind/spirit, Ξενοφάνης 25 *ἀλλ' ἀπάνευθε πόνοιο ν ό ο υ φρενὶ πάντα κραδαίνει* **2.** Νοῦς/διάνοια, mind/intellect, Παρμενίδης 4.1 *λεῦσσε δ' ὅμως ἀπεόντα ν ό ῳ παρεόντα βεβαίως* 6.6 *ἀμηχανίη γὰρ ἐν αὐτῶν στήθεσιν ἰθύνει πλακτὸν ν ό ο ν* 16.2 *ὡς γὰρ ἑκάστοτ' ἔχει κρᾶσις μελέων πολυπλάγκτων, τὼς ν ό ο ς ἀνθρώποισι παρίσταται* Ἐμπεδοκλῆς 2.8 *οὕτως οὔτ' ἐπιδερκτὰ τάδ' ἀνδράσιν οὔτ' ἐπακουστὰ οὔτε ν ό ῳ περιληπτά* 17.21 *καὶ Φιλότης ἐν τοῖσιν, ἴση μῆκός τε πλάτος τε· τὴν σὺ ν ό ῳ δέρκευ, μηδ' ὄμμασιν ἧσο τεθηπώς* 136.2 *οὐκ ἐσορᾶτε ἀλλήλους δάπτοντες ἀκηδείῃσι ν ό ο ι ο;* Φιλόλαος 13.1 *κεφαλὰ μὲν ν ό ο υ, καρδία δὲ ψυχᾶς καὶ αἰσθήσιος* Λεύκιππος 2 (τίτλ.) *ἐν τῷ Περὶ ν ο ῦ* Δημόκριτος 5e (τίτλ.) *Περὶ ν ο ῦ* 112 *θείου νοῦ τὸ ἀεί τι διαλογίζεσθαι καλόν* 175 *ὁκόσα κακὰ καὶ βλαβερὰ καὶ ἀνωφελέα, τάδε δ' οὔ⟨τε⟩ πάλαι οὔτε νῦν θεοὶ ἀνθρώποισι δωροῦνται, ἀλλ' αὐτοὶ τοῖσδεσιν ἐμπελάζουσι διὰ ν ο ῦ τυφλότητα καὶ ἀγνωμοσύνην.* Πρβλ. *φρήν, νόημα, νόησις* **3.** Νοῦς/νοημοσύνη,

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

mind/intelligence, Ἡράκλειτος 40 *πολυμαθίη ν ό ο ν ἔχειν οὐ διδάσκει* 104 *τίς γὰρ αὐτῶν ν ό ο ς ἢ φρήν;* 114 *ξὺν ν ό ῳ λέγοντας ἰσχυρίζεσθαι χρὴ τῷ ξυνῷ πάντων, ὅκωσπερ νόμῳ πόλις, καὶ πολὺ ἰσχυροτέρως* Δημόκριτος 35 *γνωμέων μεν τῶνδε εἴ τις ἐπαΐοι ξὺν ν ό ῳ, πολλὰ μὲν ἔρξει πράγματ' ἀνδρὸς ἀγαθοῦ ἄξια, πολλὰ δὲ φλαῦρα οὐχ ἔρξει* 52 *τὸν οἰόμενον ν ο ῦ ν ἔχειν ὁ νουθετέων ματαιοπονεῖ* 64 *πολλοὶ πολυμαθέες ν ο ῦ ν οὐκ ἔχουσιν* 105 *σώματος κάλλος ζῳῶδες, ἢν μὴ ν ο ῦ ς ὑπῇ* 282 *χρημάτων χρῆσις ξὺν ν ό ῳ μὲν χρήσιμον εἰς τὸ ἐλευθέριον εἶναι καὶ δημωφελέα, ξὺν ἀνοίῃ δὲ χορηγίη ξυνή* **4.** Νοῦς (ὡς κοσμικὴ ἀρχή), mind (as a cosmic principle), Ἀναξαγόρας 11 *ἐν παντὶ παντὸς μοῖρα ἔνεστι πλὴν ν ο ῦ, ἔστιν οἷσι δὲ καὶ ν ο ῦ ς ἔνι* 12.1-12-13-17-19-27 *τὰ μὲν ἄλλα παντὸς μοῖραν μετέχει, ν ο ῦ ς δέ ἐστιν ἄπειρον καὶ αὐτοκρατὲς καὶ μέμεικται οὐδενὶ χρήματι ... καὶ ὅσα γε ψυχὴν ἔχει καὶ τὰ μείζω καὶ τὰ ἐλάσσω, πάντων ν ο ῦ ς κρατεῖ. καὶ τῆς περιχωρήσιος τῆς συμπάσης ν ο ῦ ς ἐκράτησεν ... καὶ τὰ συμμισγόμενά τε καὶ ἀποκρινόμενα διακρινόμενα πάντα ἔγνω ν ο ῦ ς. καὶ ὁποῖα ἔμελλεν ἔσεσθαι καὶ ὁποῖα ἦν, ἅσσα νῦν μὴ ἔστι, καὶ ὅσα νῦν ἐστι καὶ ὁποῖα ἔσται, πάντα διεκόσμησε ν ο ῦ ς ... παντάπασι δὲ οὐδὲν ἀποκρίνεται οὐδὲ διακρίνεται ἕτερον ἀπὸ τοῦ ἑτέρου πλὴν ν ο ῦ. ν ο ῦ ς δὲ πᾶς ὅμοιός ἐστι καὶ ὁ μείζων καὶ ὁ ἐλάττων* 13 *καὶ ἐπεὶ ἤρξατο ὁ ν ο ῦ ς κινεῖν, ἀπὸ τοῦ κινουμένου παντὸς ἀπεκρίνετο, καὶ ὅσον ἐκίνησεν ὁ ν ο ῦ ς, πᾶν τοῦτο διεκρίθη* 14 *ὁ δὲ ν ο ῦ ς, ὃς ἀεί ἐστι, τὸ κάρτα καὶ νῦν ἐστιν ἵνα καὶ τὰ ἄλλα πάντα, ἐν τῷ πολλῷ περιέχοντι καὶ ἐν τοῖς προσκριθεῖσι καὶ ἐν τοῖς ἀποκεκριμένοις* Δημόκριτος 5 *τὰ περὶ τῆς διακοσμήσεως καὶ τοῦ ν ο ῦ.*

**νυκτιφαής.** Νυκτόφεγγος, shining by night, Παρμενίδης 14 *ν υ κ τ ι φ α ὲ ς περὶ γαῖαν ἀλώμενον ἀλλότριον φῶς.*

**νῦν.** Τώρα, now, Ξενοφάνης 1.1 *ν ῦ ν γὰρ δὴ ζάπεδον καθαρὸν* 7.1 *ν ῦ ν αὖτ' ἄλλον ἔπειμι λόγον, δείξω δὲ κέλευθον* Παρμενίδης 19.1 *οὕτω τοι κατὰ δόξαν ἔφυ τάδε καί ν υ ν ἔασι* Ἐμπεδοκλῆς 62.1 *ν ῦ ν δ' ἄγ'* 131.3 *εὐχομένῳ ν ῦ ν αὖτε παρίστασο, Καλλιόπεια* Ἀναξαγόρας 6.6 *καὶ ν ῦ ν πάντα ὁμοῦ* 12.17-18 *ἅσσα ν ῦ ν μὴ ἔστι, καὶ ὅσα ν ῦ ν ἐστι καὶ ὁποῖα ἔσται* 14.1 *τὸ κάρτα καὶ ν ῦ ν ἐστιν* Διογένης 2.4 *εἰ γὰρ τὰ ἐν τῷδε τῷ κόσμῳ*